# ΟΒΔΙΟΥ

1 ΟΡΑΣΙΣ Ὀβδιού. Τάδε λέγει Κύριος ὁ Θεὸς
τῇ Ἰδουμαίᾳ· ἀκοὴν ἤκουσα παρὰ Κυρίου, καὶ
περιοχὴν εἰς τὰ ἔθνη ἐξαπέστειλεν.
ἀνάστητε, καὶ ἐξαναστῶμεν ἐπ᾿ αὐτὴν εἰς
πόλεμον.
2 ἰδοὺ ὀλιγοστὸν δέδωκά σε ἐν τοῖς
ἔθνεσιν, ἠτιμωμένος εἶ σὺ σφόδρα.
3 ὑπερηφανία τῆς καρδίας σου ἐπῇρέ σε
κατασκηνοῦντα ἐν ταῖς ὀπαῖς τῶν πετρῶν,
ὑψῶν κατοικίαν αὐτοῦ, λέγων ἐν καρδίᾳ
αὐτοῦ· τίς κατάξει με ἐπὶ τὴν γῆν;
4 ἐὰν μετεωρισθῇς ὡς ἀετὸς καὶ ἐὰν ἀνὰ
μέσον τῶν ἄστρων θῇς νοσσιάν σου, ἐκεῖθεν
κατάξω σε, λέγε Κύριος.
5 εἰ κλέπται εἰσῆλθον πρός σε ἢ λῃσταὶ
νυκτός, ποῦ ἂν ἀπερρίφης; οὐκ ἂν ἔκλεψαν
τὰ ἱκανὰ ἑαυτοῖς; καὶ εἰ τρυγηταὶ εἰσῆλθον
πρὸς σέ, οὐκ ἂν ὑπελίποντο ἐπιφυλλίδα;
6 πῶς ἐξηρευνήθη Ἡσαῦ καὶ κατελήφθη τὰ
κεκρυμμένα αὐτοῦ;
7 ἕως τῶν ὁρίων ἐξαπέστειλάν σε πάντες οἱ
ἄνδρες τῆς διαθήκης σου, ἀντέστησάν σοι,
ἠδυνάσθησαν πρός σε ἄνδρες εἰρηνικοί σου,
ἔθηκαν ἔνεδρα ὑποκάτω σου, οὐκ ἔστι
σύνεσις αὐτοῖς.
8 ἐν τῇ ἡμέρᾳ ἐκείνῃ, λέγει Κύριος, ἀπολῶ
σοφοὺς ἐκ τῆς Ἰδουμαίας καὶ σύνεσιν ἐξ
ὄρους Ἡσαῦ·

9 καὶ πτοηθήσονται οἱ μαχηταί σου οἱ ἐκ
Θαιμάν, ὅπως ἐξαρθῇ ἄνθρωπος ἐξ ὄρους
Ἡσαῦ
10 διὰ τὴν σφαγὴν καὶ τὴν ἀσέβειαν τὴν εἰς
τὸν ἀδελφόν σου Ἰακώβ, καὶ καλύψει σε
αἰσχύνη καὶ ἐξαρθήσῃ εἰς τὸν αἰῶνα. 11 Ἀφ᾿
ἧς ἡμέρας ἀντέστης ἐξεναντίας ἐν ἡμέραις
αἰχμαλωτευόντων ἀλλογενῶν δύναμιν αὐτοῦ
καὶ ἀλλότριοι εἰσῆλθον εἰς πύλας αὐτοῦ καὶ
ἐπὶ Ἱερουσαλὴμ ἔβαλον κλήρους, καὶ σὺ ἦς
ὡς εἷς ἐξ αὐτῶν.
12 καὶ μὴ ἐπίδῃς ἡμέραν ἀδελφοῦ σου ἐν
ἡμέρᾳ ἀλλοτρίων καὶ μὴ ἐπιχαρῇς ἐπὶ τοὺς
υἱοὺς Ἰούδα ἐν ἡμέρᾳ ἀπωλείας αὐτῶν καὶ μὴ
μεγαλορρημονήσῃς ἐν ἡμέρᾳ θλίψεως,
13 μηδὲ εἰσέλθῃς εἰς πύλας λαῶν ἐν ἡμέρᾳ
πόνων αὐτῶν, μηδὲ ἐπίδῃς καὶ σὺ τὴν
συναγωγὴν αὐτῶν ἐν ἡμέρᾳ ὀλέθρου αὐτῶν
καὶ μὴ συνεπιθῇ ἐπὶ τὴν δύναμιν αὐτῶν ἐν
ἡμέρᾳ ἀπωλείας αὐτῶν.
14 μηδὲ ἐπιστῇς ἐπὶ τὰς διεκβολὰς αὐτῶν
τοῦ ἐξολοθρεῦσαι τοὺς ἀνασῳζομένους
αὐτῶν, μηδὲ συγκλείσῃς τοὺς φεύγοντας ἐξ
αὐτῶν ἐν ἡμέρᾳ θλίψεως.
15 διότι ἐγγὺς ἡμέρα Κυρίου ἐπὶ πάντα τὰ
ἔθνη· ὃν τρόπον ἐποίησας, οὕτως ἔσται σοι·
τὸ ἀνταπόδομά σου ἀνταποδοθήσεται εἰς
κεφαλήν σου.
16 διότι ὃν τρόπον ἔπιες ἐπὶ τὸ ὄρος τὸ
ἅγιόν μου, πίονται πάντα τὰ ἔθνη οἶνον·
πίονται καὶ καταβήσονται καὶ ἔσονται

καθὼς οὐχ ὑπάρχοντες. 17 Ἐν δὲ τῷ ὄρει
Σιὼν ἔσται ἡ σωτηρία, καὶ ἔσται ἅγιον· καὶ
κατακληρονομήσουσιν ὁ οἶκος Ἰακὼβ τοὺς
κατακληρονομήσαντας αὐτούς.
18 καὶ ἔσται ὁ οἶκος Ἰακὼβ πῦρ, ὁ δὲ οἶκος
Ἰωσὴφ φλόξ, ὁ δὲ οἶκος Ἡσαῦ εἰς καλάμην,
καὶ ἐκκαυθήσονται εἰς αὐτοὺς καὶ
καταφάγονται αὐτούς, καὶ οὐκ ἔσται
πυροφόρος ἐν τῷ οἴκῳ Ἡσαῦ, διότι Κύριος
ἐλάλησε.
19 καὶ κατακληρονομήσουσιν οἱ ἐν Ναγὲβ
τὸ ὄρος τὸ Ἡσαῦ καὶ οἱ ἐν τῇ Σεφηλὰ τοὺς
ἀλλοφύλους καὶ κατακληρονομήσουσι τὸ
ὄρος Ἐφραὶμ καὶ τὸ πεδίον Σαμαρείας καὶ
Βενιαμὶν καὶ τὴν Γαλααδῖτιν.
20 καὶ τῆς μετοικεσίας ἡ ἀρχὴ αὕτη· τοῖς
υἱοῖς Ἰσραὴλ γῆ τῶν Χαναναίων ἕως
Σαρεπτῶν καὶ ἡ μετοικεσία Ἱερουσαλὴμ ἕως
Ἐφραθά, καὶ κληρονομήσουσι τὰς πόλεις τοῦ
Ναγέβ.
21 καὶ ἀναβήσονται ἀνασῳζόμενοι ἐξ ὄρους
Σιὼν τοῦ ἐκδικῆσαι τὸ ὄρος Ἡσαῦ, καὶ ἔσται
τῷ Κυρίῳ ἡ βασιλεία.

# Η Παλαιά Διαθήκη κατά τη μετάφραση των εβδομήκοντα (Ο') | SEPTUAGINTA
## The Old Testament in Ancient Greek, Septuagint translation

Public Domain

℗ Orthodox Media Network

Language: Ελληνικά (Greek, Ancient)

Dialect: Koine

ORTHODOX MEDIA NETWORK-ΟΡΘΟΔΟΞΟ ΔΙΚΤΥΟ ΕΝΗΜΕΡΩΣΗΣ
A Voice from the Heart of Mount Athos to the World
Orthodox Media Network (https://vivlos.link/DEqNY) was founded on Mount Athos – the only monastic republic in the world – with main mission to promote the Holy Scriptures and preserve the spiritual and cultural heritage of Orthodox monasticism, using mainly the internet.
Since 2010, its founder and General Secretary, Apostolos Vavylis, has become the first person internationally to record the entire Bible in both the original ancient Greek text and its modern Greek translation.
This work – unprecedented in Orthodox tradition – has reached and inspired millions:
* Over 15 million people (estimated) have listened to at least one chapter of the recorded Bible.

* Hundreds of independent accounts across nearly every digital platform, share these recordings in countless forms.
We have never claimed copyright or demanded takedowns of these reproductions — because our goal is not profit, but the free and faithful dissemination of the Word of God and the blessing it brings to the world.
We welcome anyone that would like to publicly share our work with the only condition to publish the present text as a minimum respect to our mission.
* Our vision:

To place a Bible in every Greek-speaking home, wherever it may be on earth.

There are an estimated 17 million Greeks living in nearly 100 countries.
* If you wish to support or partner with us, please contact:

* vivlos.net@gmail.com

The Old Testament (Septuaginta)
<a href="https://youtube.com/playlist?list=PLqOoWYKEqRw2J7wlPCGWIYIRdX4G2USZr&si=98IZ8ZkglX6ll-xI">https://youtube.com/playlist?list=PLqOoWYKEqRw2J7wlPCGWIYIRdX4G2USZr&si=98IZ8ZkglX6ll-xI
We are a voice of Orthodoxy, a witness of the Word, and a blessing to the Nations.

2026-02-12

---

PDF generated using Haiola and XeLaTeX on 13 Feb 2026 from source files dated 12 Feb 2026
ca02bfb2-f119-5bc3-ba15-888748b9800a